TEZAUR LITURGIC

11 AUGUST

# SLUJBA
# SF.ARHIDIACON-MUCENIC
# EVPLU
# DE LA
# CATANIA SICILIEI

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 11 ΑΥΓΟΥΣΤΟΣ
# ΕΥΠΛΟΣ ΔΙΑΚΟΝΟΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν Στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς ἑορτῆς γ’. Ἦχος πλ. β'. Τριήμερος ἀνέστης.

Μορφούμενος δι' οἶκτον Χριστέ, Ἀδὰμ τὸν πρῶτον ἄνθρωπον, ἐκ Παρθένου, ὤφθης δεύτερος Ἀδάμ, ἐν ὄρει δὲ Σωτήρ μου, Θαβὼρ μετεμορφώθης, παραγυμνῶν σου τήν Θεότητα.

Ἐξέστησαν ὁρῶντες τὴν σήν, τῆς χάριτος οἱ πρόκριτοι, καὶ τοῦ νόμου, Μεταμόρφωσιν Χριστέ, ἐν ὄρει τῷ ἁγίῳ, μεθ' ὧν σε προσκυνοῦμεν, σὺν τῷ Πατρί σου καὶ τῷ Πνεύματι.

Λαμπρύνεται ἡ κτίσις φαιδρῶς, τῇ σῇ Μεταμορφώσει Χριστέ, ἣν τοῖς θείοις, Ἀποστόλοις ἐν Θαβώρ, Μωσεῖ τε καὶ Ἠλίᾳ, ὑπέδειξας Θεὸς ὤν, ἀρρήτως λάμψας ὑπὲρ ἥλιον.

*Καὶ γ’ Στιχηρὰ τοῦ Ἁγίου Μάρτυρος. Ἦχος α'. Πανεύφημοι Μάρτυρες.*

Εὔπλε παναοίδιμε ἐχθροῦ, δυσμενοῦς κατέβαλες, τὰς μηχανὰς ἀνδρειότατε, στερρᾷ ἀθλήσει σου, προσπαλαίσας τοῦτον, καὶ Χριστῷ τῷ Κτίστῃ σου,

θυσία καθαρὰ καὶ εὐπρόσδεκτος, καθιερώθης νῦν, τῷ τῶν ὅλων βασιλεύοντι, δι' αἰῶνος συναγαλλιώμενος.

Εὖπλε παναοίδιμε Σταυρῷ τοῦ Χριστοῦ φραξάμενος, τὰ τῆς ψυχῆς αἰσθητήρια, πρὸς τὸν ἀντίπαλον, ἑκουσίᾳ γνώμῃ, καρτερῶς ἐχώρησας, καὶ τοῦτον προφανῶς τροπωσάμενος, συμβασιλεύεις νῦν, τῷ, τῶν ὅλων βασιλεύοντι, δι' αἰῶνος συναγαλλιώμενος.

Εὖπλε παναοίδιμε Χριστόν, ἀρωγὸν κτησάμενος, τῶν ὑλικῶν κατεφρόνησας, καὶ σῶμα δι' αὐτόν, τῷ διώκτῃ Μάρτυς, παραδοὺς εἰς μάστιγας, ἀντέστης ἐναθλῶν μέχρις αἵματος· διὸ στεφάνῳ σε, τῷ τῆς νίκης κατεκόσμησεν, ὁ Δεσπότης καὶ Σωτὴρ καὶ Κύριος.

*Δόξα. Ἦχος πλ. β'.*

Σήμερον καθείργνυται ἐν σκότει, Εὖπλος ὁ ἐν τοῖς Μάρτυσι λάμπων· ἕλκεται τυραννικῶς ὢν αὐτόκλητος, ὁ τῶν ἀθέων ἐλεγκτής. Φρικτοῖς βασάνοις ὑποβάλλεται, ὁ καταβαλὼν τὸν σοφιστὴν τῆς κακίας· ὕδατος πηγὴν ἤνοιξεν, ἐν τῇ φυλακῇ αὐτοῦ ἱκεσίαις πρὸς Χριστόν. Θνήσκειν κατεκρίθη, διὰ τὸν θανόντα ὑπὲρ ἡμῶν· ξίφει ἀπετμήθη, κάραν ἐχθροῦ ὁ συγκόψας· ἀνυμνοῦμέν σου τοὺς ἄθλους πιστῶς, δίδου ἡμῖν τῶν προσευχῶν σου τὴν ἀντάμειψιν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.*

Προτυπῶν τὴν Ἀνάστασιν τὴν σήν, Χριστὲ ὁ Θεός, τότε παραλαμβάνεις τοὺς τρεῖς σου μαθητάς, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἐν τῷ Θαβὼρ ἀνελθών. Σοῦ δὲ Σωτήρ μεταμορφουμένου, τὸ Θαβώριον ὄρος φωτὶ ἐσκέπετο. Οἱ Μαθηταί σου Λόγε, ἔρριψαν ἑαυτοὺς ἐν

τῷ ἐδάφει τῆς γῆς, μὴ φέροντες ὁρᾶν, τὴν ἀθέατον μορφήν, Ἄγγελοι διηκόνουν φόβῳ καὶ τρόμῳ, οὐρανοὶ ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπὶ γῆς, τῆς δόξης τὸν Κύριον.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾿ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ', 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων

τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ.' 15.)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς

παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Λιτή. Ἦχος α'.*

Ἐπὶ τῇ μαρτυρικῇ μνήμῃ ἀδελφοὶ συνελθόντες ἐν ᾄσμασι, μέλψωμεν τοῦ ἱεροῦ Διακόνου Εὔπλου τὴν ἄθλησιν· ἐν τῷ πανσέπτῳ τούτῳ ναῷ, οἱ πιστοὶ τὴν πάντιμον κάραν αὐτοῦ κυκλοῦντες, ἀπεκδεχόμεθα τὰς εὐογίας, ἐκ τοῦ ἐπουρανίου φρικτοῦ θυσιαστηρίου, ἔνθα ὡς Μάρτυς παριστάμενος, πρεσβεύει δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β'.*

Εὖπλε Διάκονε, τὸ καύχημα τῆς Ἐκκλησίας, καὶ τῶν πιστῶν καταφυγή, τῶν προσφύγων ἡ παρηγορία, καὶ τῶν ἐν θλίψει τὸ παραμύθιον, ὡς τῶν μυστηρίων πάλαι ὑπηρέτης θαυμάσιος, οὕτω καὶ νῦν, περιφρούρει τὴν κώμην σου ταύτην, ἔνθα ὡς

θησαυρός, κειμήλιον τιμαλφέστατον, ἡ πάντιμος κάρα σου θησαυρίζεται. Τοὺς δὲ πιστῶς, ἐπικαλουμένους σε περιφρούρει, ἐκ δαιμονικῶν ἐπιβουλῶν, καὶ σῶζε ἐκ κινδύνων τοὺς πανηγυρίζοντας τὴν μνήμην σου.

*Ἦχος πλ. β’.*

Εὔπλε Διάκονε, διαφυγὼν τὴν τρικυμίαν τοῦ βίου, τῇ κραταιᾷ ἐλπίδι τῷ ἱστίῳ τοῦ Σταυροῦ τοῦ Χριστοῦ, εἰς τέλος ἐμιμήθης καὶ τὸ μαρτύριον ἐκείνου. Τότε μὲν διηκόνεις τοῖς φρικτοῖς μυστηρίοις, καὶ τῇ ἀναιμάκτῳ Τραπέζῃ, νῦν δὲ κοσμούμενος στεφάνῳ μαρτυρικῷ, προσάγεις τὸ ἴδιον αἷμα, τῷ ἀγωνοθέτῃ Κυρίῳ σου, καὶ πρεσβεύεις ὑπὲρ ἡμῶν, αἰτούμενος ἐν παῤῥησίᾳ πολλῇ, εἰρήνην τῇ Ἐκκλησίᾳ καὶ τοῖς πιστοῖς πλούσιον ἔλεος.

*Δόξα. Ἦχος πλ. δ’*

Εὔπλε μακάριε Διάκονε, μαρτυρήσας ἐν Σικελίᾳ τῇ νήσῳ, Κατάνης βλαστὲ καὶ τῆς Ἐκκλησίας ἁπάσης τὸ καύχημα, κατέχοντες ἐν μέσῳ ἡμῶν, τὴν ἱερὰν καὶ πάνσεπτον κάραν σου, προσπίπτοντές σοι ἱκετικῶς, βοῶμεν καὶ λέγομεν· Βοήθει ἡμῖν, τοῖς κύμασι τοῦ βίου σαλευομένοις, ἵνα λιμένα εὕρωμεν εὔδιον, σὲ κατέχοντες πλοηγὸν κραταιότατον, καὶ σὺν σοὶ ἐλλιμενισθῶμεν σωθέντες εἰς τὸν γλυκύτατον Παράδεισον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός*

Παρέλαβεν ὁ Χριστός, τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ

μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ, ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες, καὶ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Εὔπλε ὁπλίτα στεῤῥέ, ὁ Ἀθλοφόρος τοῦ Χριστοῦ καὶ Διάκονος, τὸ κλέος τῆς Σικελίας, ὁ τῆς Κατάνης βλαστός, τῶν καλῶς πλεόντων ὁ ἐπώνυμος, ἐχθροῦ τροπωσάμενος, καὶ τυράννων παράταξιν, Γραφῶν τῷ Νόμῳ, καὶ πληγαῖς ὠνησάμενος, τὸν παράδεισον, καὶ ζωὴν τὴν οὐράνιον· μέμνησο τῶν τελούντων σου, τὴν μνήμην τιμώντων σε, ἀσπαζομένοι εἰκόναν, τὴν χαριτόβρυτον κάραν σου, καὶ πόδας τιμίους, ἐξ ὧν βρύει εὐδρομία, καὶ μέγα ἔλεος.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις, διακονήσας καλῶς, τὴν Ἐκκλησίαν Εὔπλε ὥσπερ Διάκονος, ὀφθεὶς τῶν χηρῶν προστάτης, τῶν ὀρφανῶν βοηθός, πάντων ἐν ἀνάγκαις ὁ ἐπίκουρος, τροφὴ τῶν πεινόντων τε, πενομένων ἀντίληψις, γερόντων ῥάβδος, καὶ νεότητος στήριγμα, ἀσθενούντων τε, ὁ ἀκέστωρ ὁ ἄμισθος, θυμίαμα ὡς Διάκονος, προσφέρων τῷ Πλάστῃ σου, μιᾷ χειρὶ καὶ τῇ

ἄλλῃ, τείνων βοήθειαν πάσχουσι· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν αὐλαῖς οἴκου Θεοῦ ἐξανθήσεται.*

Χαίροις, ἡ ἱερὰ κεφαλή, Θεὸν ἀθέοις τὸν Χριστὸν ἡ κηρύξασα· Διάκονε Εὔπλε χαῖρε, ὁ ἐπὶ ξύλου ταθείς, σιδηροῖς ὀργάνοις συντριβόμενος, ξεσμοὺς ἐκαρτέρησας, δεθεὶς τ' ἄκρα τοῖς γόνασι, πάλιν δὲ σφύραις, σιδηραῖς κνήμας θλάττεσαι, φυλακῇ τε ῥιφείς, εὐχῇ μόνῃ πανένδοξε, ὕδατος πηγὴν ἔβλυσας, καὶ εἶτα εἱρκτῆς ἐκβληθείς, σοῦ κατετρώθης τὰ ὦτα, πεπυρωμένοις σιδήροις σφοδρῶς· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. α'.*

Τῶν φιλεόρτων ὁ σύλλογος, πνευματικῶς πανηγυρίσωμεν, καὶ λάρνακι Λευΐτου εὐφρανθρῶμεν, ὅτι ὁ Μάρτυς Εὔπλος, Σικελίας ὁ γόνος, καὶ ἁπάντων διακόνων τὸ καύχημα, ἱεροάθλων τάξεσι, συγχορεύει σήμερον. Τοῦτον πάντες ἐπαινέσωμεν λέγοντες· χαίροις, ὁ τῶν δαιμόνων πτοήσας τὴν οἴησιν, καὶ δυσσεβῶν διαλύσας τὴν ζόφωσιν· χαίροις, ὁ τῆς προσκαίρου ζωῆς μὴ φεισθείς, καὶ τοῦ θανάτου ἀπειλὴν μὴ φοβηθείς, αὐτόκλητος προσελθών. Νῦν παρεστὼς τῇ Τριάδι, ἱκέτευε ὑπὲρ τῶν πίστει τελούντων τὴν μακαρίαν σου ἄθλησιν.

*Καὶ νῦν. Ὁ αὐτός.*

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ,

Μωϋσῆς ὁ θεόπτης καὶ Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου, μεθ' ὧν καὶ ἡμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάβαλε.*

Ὡς θεῖος διάκονος τῆς Ἐκκλησίας Χριστοῦ, ὁσίως διήγαγες τὰ πρὸς Θεὸν καὶ πιστῶς, καὶ ἤθλησας ἄριστα, σὺ γὰρ ἐν τῷ πελάγει, τῶν ποικίλων ἀγώνων, εὔπλοος ἀνεδείχθης, παμμακάριστε Εὖπλε. Καὶ νῦν πρὸς λιμένας ἡμᾶς, θείους κυβέρνησαν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος βαρύς*

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον*

Ἑορτὴ ὑπέρτιμος, Μάρτυρος Εὔπλου ἧκε, δεῦτε τῷ ναῷ, τῆς Θεοτόκου εὐλαβῶς, κάραν αὐτοῦ προσπτυσσώμεθα, ἐν Μεσημβρίᾳ, Θεὸν μεγαλύνοντες.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς*

Ἑορτὴ ὑπέρλαμπρος ἡ τοῦ Δεσπότου, ἦλθε, δεῦτε ἅπαντες, ἐπὶ τῷ ὄρει νοερῶς, προκαθαρθέντες ἀνέλθωμεν, τῷ Θαβωρίῳ, Χριστὸν ἐποψόμενοι.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Ὁ Διάκονος Εὖπλος καὶ Μεσημβρίας φρουρός, τῆς Κατάνης τὸ ἄνθος καὶ Σικελίας βλαστός, ἐν σταδίῳ παρεστὼς γενναίως ἔκραζεν· ἰδοὺ αὐτόκλητος ὑμῖν, ἐναθλήσων πάρειμι, ἀθέους ἐχθροὺς ἐλέγξαι· διὸ τιμῶμεν αὐτοῦ τὴν μνήμην, ὁμολογίαν τε καὶ ἄθλησιν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς*

Ὁ ὁμότιμος Λόγος Πατρὶ καὶ Πνεύματι, σαρκωθεὶς ἐκ Παρθένου εἰς σωτηρίαν ἡμῶν, ἀνεστράφη τοῖς ἐν γῇ καθάπερ γέγραπται, καὶ ἀνελθὼν ἐν τῷ Θαβώρ, σὺν προκρίτοις Μαθηταῖς, ἐνδόξως μετεμορφώθη· διὸ ὑμνοῦμεν αὐτοῦ τὴν θείαν, καὶ παναγίαν συγκατάβασιν.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος δ’. Κατεπλάγη Ἰωσήφ.*

Πρὸ βημάτων τοῦ κριτοῦ, ἔστης Καλβιασιανοῦ, διαβληθεὶς καὶ μὴ πεισθείς, τοῦ ἀρνηθῆναι τὸν Χριστόν, χεῖρας δεσμεῖσαι καὶ πόδας σου πρὸς τοῖς γόνασιν· εἶτα κρεμασθείς, τῷ ξύλῳ Ἅγιε, ἐξύσθης σιδηροῖς, Μάρτυς ὄνυξι· θεϊκὴ δὲ φωνὴ ἄνω ἐλθοῦσά

σοι, σὲ δυνατὸν πᾶσι ἔδειξεν. Ὁ τότε Εὖπλον, Χριστὲ ἐνισχύσας, κράτυνον τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς*

Τὴν τῶν βροτῶν ἐναλλαγήν, τὴν μετὰ δόξης σου Σωτὴρ, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ, τῆς σῆς ἐλεύσεως δεικνύς, ἐπὶ τοῦ ὄρους Θαβὼρ μετεμορφώθης, Ἠλίας καὶ Μωσῆς συνελάλουν σοι, τοὺς τρεῖς τῶν Μαθητῶν συνεκάλεσας, οἳ κατιδόντες Δέσποτα τὴν δόξαν σου, τῇ ἀστραπῇ σου ἐξέστησαν, ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν αὐλαῖς οἴκου Θεοῦ ἐξανθήσεται.*

Εὐαγγέλιον, μαρτυρικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β’. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον, ὁ ἀήττητος ὁπλίτης, τοῦ Βασιλέως Χριστοῦ, Εὖπλος ὁ Διάκονος, αὐτόκλητος προσέρχεται τοῖς ἀνόμοις δικασταῖς, καὶ χύσει αἵματος, μέτοχος γίνεται, τῆς οὐρανίου μακαριότητος. Βλέπει δὲ τὸν φωτίσαντα φωτί, τὴν οἰκουμένην Σωτῆρα, μεταμορφωθέντα ἐν Θαβώρ, ἀστράπτοντα ὑπὲρ ἥλιον. Οὗ δυναστείαν ἐκ

Προφητῶν, Ἠλίας καὶ Μωσῆς ἰδόντες τρόμῳ σὺν Μαθητῶν τοῖς προκρίτοις ἐβόων· φωτίσθητε λαοί, καὶ ἀγαλλιᾶσθε.

Εἶτα, οἱ Κανόνες· ὁ α' τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου οὗ ἡ Ἀκροστιχίς: *Τὸν κλεινὸν Εὔπλον εὐσεβῶς ἐπαινέσω. Ἰωσήφ.*

*ᾨδὴ α'. Ἦχος δ'. Τριστάτας κραταιούς*

Τῷ ὅπλῳ τοῦ Σταυροῦ, εὐπλοήσας εἰσῆλθες, εἰς λιμένα τῆς ζωῆς, ἐν ᾧ περιχαρῶς, αὐγαζόμενος ἔνδοξε, κόπασόν μου τῆς καρδίας, πολυτάραχον κλύδωνα, γαληνῶς τοῦ δοξάζειν τὴν μνήμην σου.

Ὁλόφωτος ἀστήρ, ἀρετῶν δᾳδουχίαις, καταυγάζων τοὺς πιστούς, ἀνέτειλας σοφέ, τῷ σεπτῷ στερεώματι, Εὔπλε τῷ τῆς Ἐκκλησίας, καὶ τὸν ζόφον ἀπήλασας, τῶν δαιμόνων δυνάμει τοῦ Πνεύματος.

Νευρούμενος σοφέ, θεϊκῇ δυναστείᾳ, θαρσαλέῳ λογισμῷ, Θεὸν τὸν ἐκ Θεοῦ, γεννηθέντα ἐκήρυξας, σταύρωσιν ἐθελουσίως, ὑπομείναντα ἔνδοξε, καὶ θανάτῳ τὸν θάνατον λύσαντα.

Κινείσθω πρὸς τὴν σήν, εὐφημίαν πᾶν στόμα, ὅτι στόματος ἐχθροῦ, ἐνθέοις διδαχαῖς, θεοφόρε ἐξήρπασας, πάντας τοὺς εὐπειθεστάτως, δεξαμένους τοὺς λόγους σου, ἀθλοφόρε Χριστοῦ γενναιότατε.

*Θεοτοκίον*

Λαμπρύνας σου Χριστός, τὴν νηδὺν τὴν φωσφόρον, τῇ καθόδῳ τῇ φρικτῇ, ὡς ἥλιος Ἁγνή, τοῖς ἐν κόσμῳ

ἀνέτειλε, λύων τῆς πολυθεΐας, τὴν ἀχλὺν τὴν καχέσπερον, καὶ φωτίζων τοῦ κόσμου τὰ πέρατα.

*ᾨδὴ γ'. Ὅτι στεῖρα ἔτεκεν*

Ἑαυτὸν ἐξέδωκας, ὥσπερ ἀμνὸς ἑκουσίως, σφαγιασθῆναι θέλων, ὑπὲρ Χριστοῦ τοῦ διὰ σέ, ἐθελοντὶ πτωχεύσαντος καὶ σφαγέντος, Εὖπλε παμμακάριστε.

Ἱερεῖον ἄμωμον, εὐωδεστάτη θυσία, καὶ προσφορὰ τελεία, προσανηνέχθης τῷ Θεῷ, περιχαρῶς μακάριε, ἀναμέλπων· Ἅγιος εἶ Κύριε.

Νόμοις κρατυνόμενος, Εὐαγγελίου θεόφρον, μέσον ἀνδρῶν ἀνόμων, ἐπέστης κράζων ἐμφανῶς· Τοῖς μὴ ζητοῦσι πάρειμι, διελέγξαι τούτων τὴν δυσσέβειαν.

*Θεοτοκίον*

Ὁ Θεὸς ἐν μέσῳ σου, κατασκηνώσας, οὐδόλως τῆς παρθενίας κλεῖθρα, τῆς σῆς ἐσάλευσεν Ἁγνὴ ὃν ἐκτενῶς ἱκέτευε, στηριχθῆναι πάντας τους ὑμνοῦντάς σε.

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ*

Τοὺς νόμους τοῦ Χριστοῦ, ἐν χερσὶ περιφέρων, ἐπέστης ἐκβοῶν, τοῖς ἐχθροῖς ἐν σταδίῳ. Αὐτόκλητος πάρειμι, ἐναθλήσων στερρότατα· ὅθεν κλίνας σου, περιχαρῶς τὸν αὐχένα, ὑποδέδεξαι, τὴν ἐκτομὴν τὴν τοῦ ξίφους, τελέσας τὸν δρόμον σου.

*Δόξα... Καὶ νῦν ...*

*Τῆς Ἑορτῆς. Ἦχος δ' Κατεπλάγη Ἰωσήφ*

Τῇ ἀπροσίτῳ Ἰησοῦ, δόξῃ τοῦ θείου σου φωτός, μεταμορφούμενος τοῖς σοῖς, ἔλαμψας θείοις Μαθηταῖς, τῷ Ἰωάννῃ καὶ Πέτρῳ καί, Ἰακώβῳ, ἐξέστησας αὐτούς, τῇ θείᾳ χάριτι· φωνῆς γὰρ πατρικῆς, ἀγαπητὸν σε Υἱόν, προσμαρτυρούσης ἤκουον, καὶ εἶδον τὴν τοῦ προσώπου σου δόξαν φρικτήν, Σωτὴρ ὁ πάντας, θέλων σωθῆναι, φώτισον τὰς ψυχὰς ἡμῶν.

*Ὠδὴ δ'. Δι᾽ ἀγάπησιν Οἰκτίρμον*

Ναὸς ἔμψυχος Τριάδος τῆς παναγίας, ὡς ἀληθῶς ἐδείχθης καὶ ναοὺς τῶν εἰδώλων, Εὔπλε κατηδάφισας, τῷ ὅπλῳ τῆς πίστεως.

Ἐνηδόμενος τῷ κάλλει τῷ θείῳ Εὔπλε, τῶν αἰκισμῶν καὶ πόνων, τῶν ἀπείρων βασάνων, μάκαρ κατεφρόνησας, καὶ χαίρων ἐνήθλησας.

Ὑψηλόφρονα καρδίαν τοῦ παλαμναίου, ταπεινωθεὶς θεόφρον, ἐταπείνωσας μάρτυς, καὶ πρὸς τὸν ὑψώσαντα, βροτοὺς ἀνελήλυθας.

Πυρακτούμενος τῷ φίλτρῳ τῷ τοῦ Δεσπότου, πᾶσαν τὴν πλάνην μάρτυς, ἐνεπύρισας ὄντως, καὶ πρὸς τὸ μαρτύριον, προθύμως ἐχώρησας.

*Θεοτοκίον*

Λιτανεύουσιν οἱ πλούσιοι τοῦ λαοῦ σου, σὲ τὴν Τεκοῦσαν Κόρη, τὸν πλουτίσαντα πάντας, θείαις ἐπιγνώσεσι, Χριστὸν τὸν Θεὸν ἡμῶν.

*ᾨδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται*

Ὁλικῶς ταῖς νεύσεσι, ταῖς θείαις λαμπρυνθείς, καὶ ἀνδρείᾳ ὀχυρωθείς, ὥσπερ λέων ἄριστε, σὺ πρὸς τὸ στάδιον, πεποιθὼς εἰσέδραμες, τὴν δυσσέβειαν τροπούμενος.

Νέμει σοι τὴν ἄλυπον, ζωὴν ὁ λυτρωτής, δι' αὐτὸν θάνατον πικρόν, ἀθλοφόρε ἔνδοξε, καθυπομείναντι, καὶ χοροῖς συνάπτει σε, τῶν μαρτύρων ἀριστεύσαντα.

Ἔκλινας αὐχένα σου, προθύμῳ λογισμῷ, καὶ τὴν κάραν ἀφαιρεθείς, τῷ Χριστῷ τρανότερον, καὶ καθαρώτερον, συνεδέθης Ὅσιε, ἀπολαύων τῆς θεώσεως.

*Θεοτοκίον*

Ὑπερτέρα πέφηνας, Ἀγγέλων ἀληθῶς, τῶν Ἀγγέλων τὸν ποιητήν, ὑπὲρ νοῦν κυήσασα, τὸν δοξάσαντα τοὺς Ἁγίους μάρτυρας, Παναγία Μητροπάρθενε.

*ᾨδὴ ς'. Ἦλθον εἰς τὰ βάθη.*

Σταζόμενος αἵματι παρέστης, τῷ σῷ ἀγωνοθέτῃ, γενναιότατα Εὔπλε θεόφρον, καὶ παρ' αὐτοῦ, τοὺς στεφάνους εἴληφας, τοὺς τῆς νίκης ἀγαλλόμενος.

Ἔστης πρὸ τοῦ βήματος ἀνδρείως, τοὺς τοῦ Δεσπότου νόμους, ταῖς ἀγκάλαις σου Εὔπλε κατέχων, καὶ προφανῶς, τοὺς ἀνόμους Ὅσιε, διελέγχων προθυμότατα.

Βασάνων πληθὺν μὴ δειλιάσας, μὴ φοβηθεὶς τὸ ξίφος, τὴν ἀλήθειαν σὺ πρὸ βημάτων δικαστικῶν, εὐσεβῶς ἐκήρυξας, καὶ τὴν πλάνην ἐθανάτωσας.

*Θεοτοκίον*

Ὢ θαῦμα παράδοξον, πῶς τίκτεις, πεῖραν ἀνδρὸς μὴ γνοῦσα; πῶς θηλάζεις δὲ Παρθενομῆτορ, τὸν χορηγόν, ἀληθῶς τοῦ γάλακτος, καί τροφέα πάσης κτίσεως;

*Κοντάκιον τῆς Ἑορτῆς. Ἦχος βαρύς. Αὐτόμελον*

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

*Κοντάκιον. Τοῦ Ἁγίου. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἰατρεῖον ἄμισθον, ἡ Ἐκκλησία, Μεγαλομάρτυς Ἅγιε, τὰ ἱερά σου καὶ σεπτά,
λείψανα Εὖπλε ἐκτήσατο· ὅθεν σὴν κάραν, τιμῶμεν καὶ πόδας σου.

*Συναξάριον.*

*Τῇ ΙΑ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὔπλου τοῦ Διακόνου.*

*Ἐκ τῆς στολῆς μέν, σεπτὸς Εὖπλος Λευΐτης.*
*ἐκ τῆς τομῆς δέ, στεῤῥὸς ὄντως ὁπλίτης.*
*Πλήγῃ ἑνδεκάτῃ ξίφει Εὖπλος κοπήευτι.*

*Ὠδὴ ζ'. Νέοι τρεῖς ἐν Βαβυλῶνι.*

Στάξαν σου ἐν γῇ τὸ αἷμα, ἀπέσβεσε τὴν πυράν, τῆς πλάνης πανόλβιε, τὴν δὲ τοῦ Χριστοῦ Ἐκκλησίαν, πλουσιωτάτως ἤρδευσεν, εὐσεβῶς ἀνυμνοῦσάν σε.

Ἔχων φρόνημα γενναῖον, καὶ ἄσειστον λογισμόν, τὴν πλάνην κατέσεισας, καὶ προϊσταμένους τοῦ ψεύδους, τοῖς ἀψευδέσιν ἤλεγξας, διδαχαῖς Εὔπλε πάνσοφε.

Πύλη σοι τοῦ Παραδείσου, Εὔπλε μάρτυς τοῦ Χριστοῦ, ἠνοίχθη μακάριε, κεκαλλωπισμένον ἰδοῦσα τῷ θείῳ πάθει, καὶ τῷ νικητικῷ διαδήματι.

Ἄνθρακι κεκαθαρμένος, θείῳ μάρτυς τὴν ψυχήν, ἄνθρακας κατέσβεσας, τῆς πολυθεΐας κραυγάζων· Εὐλογητὸς εἶ Κύριος ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

*Θεοτοκίον*

Ἵνα σου τὴν θείαν μήτραν, κάμινος ἡ Περσική, τυπώσῃ Πανάμωμε, σῴζει Νεανίας ἀφλέκτους ἀναβοῶντας· Κύριε ὁ Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η'. Λυτρωτὰ τοῦ παντός*

Νοσημάτων παντοίων καθάρσιον, καὶ πνευμάτων δεινῶν ἐλατήριον, τὸ σὸν ὑπάρχει Λείψανον, ὃ κυκλοῦντες βοῶμεν· Πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐπὶ σοὶ τῶν πιστῶν δῆμος γέγηθε, πρὸς Χριστὸν σε μεσίτην κτησάμενος, καὶ πρεσβευτην θερμότατον, καὶ προστάτην παμμάκαρ Εὔπλε Λευῖτα, τῶν Ἁγίων Ἀγγέλων συνόμιλε.

Συνελθόντες ἀρύσασθε ἄνθρωποι, νοσημάτων κατάλληλον ἴαμα, ἐκ τῆς σοροῦ τοῦ μάρτυρος, καὶ βοήσατε πίστει· Πάντα τὰ ἐργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

*Θεοτοκίον*

Ὡραιώθης Ἁγνὴ παναμώμητε, ὑπὲρ πᾶσαν Ἀγγέλων εὐπρέπειαν, τὸν ποιητὴν κυήσασα, τῶν βροτῶν καὶ Ἀγγέλων, ᾧ μελῳδοῦμεν· Εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

*Ὠδὴ θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.*

Ἰδεῖν ἠξιώθης ἀληθῶς πανόλβιε, τὰ μακρόθεν σοι ποθούμενα, ἔστης ἐφέσεως ὡς φθάσας, αὐτὸ τῶν ὀρεκτῶν τὸ ἀκρότατον, τοῦ πόθου σου σαφῶς τὸ συμπέρασμα, Εὖπλε Λευΐτα ἀξιάγαστε.

Ὡς σκῆπτρον κατέχων τὸν Σταυρὸν μακάριε, τῇ χειρί σου τὴν πορφύραν δέ, ἣν ἐξ αἱμάτων ἱερῶν σου, ἐφοίνιξας λαμπρῶς περικείμενος, Χριστῷ τῷ Βασιλεῖ νῦν παρίστασαι, Εὖπλε μαρτύρων ἀκροθίνιον.

Σήμερον Κατάνη ἡ σεπτὴ μητρόπολις, πολιοῦχον ταύτης ἄριστον, σὲ κεκτημένη ἑορτάζει, τὴν θείαν ἐκτελοῦσά σου ἄθλησιν, σὺν πάσαις ἐπαρχίαις καὶ πόλεσιν, ἥν περιέποις σαῖς δεήσεσιν.

Ἥλιος ὁλόφωτος σαφῶς γεγένησαι, καὶ πρὸς φέγγος κατεσκήνωσας, Μάρτυς τὸ θεῖον τῇ μεθέξει, θεούμενος τῇ θείᾳ μακάριε, καὶ νῦν φωταγωγεῖς τοὺς ὑμνοῦντάς σου, τὴν φωτοφόρον μάκαρ ἄθλησιν.

*Θεοτοκίον*

Φωτός, τοῦ ἐν σοὶ μαρμαρυγαῖς Θεόνυμφε, τὴν ψυχήν μου φωταγώγησον, κείμενον βόθρῳ ἀπωλείας, ἀνάστησον, ἐχθροὺς καταισχύνουσα, τοὺς θλίβοντας

ἀεὶ τὴν καρδίαν μου, καὶ πρὸς τὰ πάθη συνωθοῦντάς με.

*Ἐξαποστειλάριον τοῦ Ἁγίου Μάρτυρος. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.*

Διόλου ἀνακείμενος, Θεῷ τῷ παντοκράτορι, καὶ ἀστραπαῖς ταῖς ἐκεῖθεν, λαμπόμενος ἀθλοφόρε, τῶν ἐκτελούντων μέμνησο, τὴν φωτοφόρον μνήμην σου, καὶ σὲ τιμώντων Ἅγιε, ὡς τοῦ Χριστοῦ Μυστηρίων, Διάκονον μάρτυς Εὔπλε.

*Ἐξαποστειλάριον. Τῆς Ἑορτῆς. Ἦχος γ'. Αὐτόμελον*

Φῶς ἀναλλοίωτον Λόγε, φωτὸς Πατρὸς ἀγεννήτου, ἐν τῷ φανέντι φωτί σου, σήμερον ἐν Θαβωρίῳ, φῶς εἴδομεν τόν, Πατέρα, φῶς καὶ τὸ Πνεῦμα, φωταγωγοῦν πᾶσαν Κτίσιν.

*Αἶνοι. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Τῆς Μεσημβρίας ἡ πόλις χαῖρε καὶ χόρευε, κατέχουσα ἐν κόλποις, τὴν πανέντιμον κάραν, τοῦ Εὔπλου Διακόνου καὶ μνήμην αὐτοῦ, νῦν φαιδρῶς πανηγύριζε, Θεσσαλονίκην καὶ κώμας πέριξ αὐτῆς, συγκαλοῦσα πρὸς αἶνον αὐτοῦ.

Γενναιοτάτῃ ἐνστάσει Εὔπλε Διάκονε, τὴν τῶν εἰδώλων πλάνην, ἐν σταδίῳ ἐλέγξας, κατέχων ὡς πολύτιμον θησαυρόν, τὸν Χριστὸν ἐν καρδίᾳ σου, τῶν δριμυτάτων βασάνων ἐπιφοράς, καθυπέμεινας πανεύφημε.

Τὴν φυλακὴν ἐλογίσω ἡδὺν παράδεισον, τὰ δεσμὰ Εὖπλε ἄνθη, τοὺς δημίους ὡς φίλους, ἀπόλαυσιν τοὺς ὄνυχας τοὺς σιδηροῦς, ἡδονὴν συντριβὴν σῶν κνημῶν, καὶ τὴν τομὴν κεφαλῆς σου διὰ Χριστόν, ἀγαλλίασιν αἰώνιον.

Μάρτυς Διάκονε Εὖπλε τὴν Ἐκκλησίαν σου, διακονήσας πρῶτον, καὶ τὸ πλήρωμα ταύτης, εὐδίῳ λιμένη καθοδηγῶν, ἐναθλήσας δὲ ὕστερον, εὔπλοος Εὖπλε ἐν ἄθλοις ἀναδειχθείς, ὅρμῳ θείῳ νῦν κατέπλευσας.

*Δόξα. Ἦχος πλ. α’.*

Ὅτε ὁ δυσσεβέστατος ἐχθρός, Χριστιανῶν τιμωρίαν ἀνήγγειλε, καὶ πρὸς ἐξόμωσιν ἔτρεπε, τότε ἠνάφθη σοι πίστεως ζῆλος, καὶ ὁ διάπυρος Εὖπλε πόθος τοῦ μαρτυρίου· ὅθεν καταλιπὼν σὺ εὐθέως τὸ λειτούργημα τῆς Ἐκκλησίας, καὶ τὸ τῆς διακονίας ἔργον, σθεναρῶς εἰσεπήδησας ὡσεὶ λέων ἐν τῷ σταδίῳ, καὶ ἀπτόητος ἔκραζες· Ξεθήτωσάν μου αἱ σάρκες, διὰ τὴν ἀμώμητον τοῦ Χριστοῦ μου πίστιν, κοπήτωσάν μου οἱ πόδες, ὅπως χορεύω αἰωνίως μετὰ Ἀγγέλων ἐν οὐρανῷ, τμηθήτω μου ἡ κάρα, ἵνα στέφει ἀφθάρτῳ στέψῃ ταύτην ἡ χεὶρ τοῦ Κυρίου μου· ὅθεν μαρτυρικῆς τελευτῆς ἀξιωθεὶς παναοίδιμε, μὴ παύσῃ ταῖς πρεσβείαις σου τοῦ ἐκζητεῖν, τὴν εἰρήνην τῷ κόσμῳ καὶ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.*

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ,

Μωϋσῆς ὁ θεόπτης καὶ Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου, μεθ' ὧν καὶ ἡμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον*

Ἄθλους διανύσας μαρτυρικούς, καὶ λύθροις αἱμάτων, πορφυρώσας τὴν σὴν στολήν, τῷ Χριστῷ παρέστης, ὡς Μάρτυς τροπαιοῦχος,
ὦ Εὔπλε διακόνων, τὸ ἐγκαλλώπισμα.

